τὸ δὲ οὐκ, ἢ οὐχ κολοβωθέν ἐστι κατ᾽ ἀποκοπήν· ταὐτό φασί τινες περὶ τοῦ, οὐκ, ὅτι ἐστὶν ἀντὶ τοῦ, οὐχί, ἡ δὲ ἀποκοπὴ οὐκ ἔχει σημεῖον τῆς θλίψεως.

Ἔτι ἰστέον, ὅτι τὸ κ, μετὰ τὸ, ν, ἢ τὸ γ, προσλαμβάνει τὸν φθόγγον τοῦ γ, εἴτε ἐν τῇ αὐτῇ λέξει, οἷον, ἐνέγκω, ἀνάγκη· εἴτε ἐν διαφόροις, ἀμέσως καὶ ἀδιαστάτως ἐκφερομέναις, οἷον τὸν κύριον, τὸν καιρόν.

Ἔτι τὸ γ, πρὸ τοῦ κ, ἢ πρὸ τοῦ ἑτέρου γ, ἢ χ, οἷον τὸ, ν, οἷον, ἐξενέγκης, ἄγγελος.

Ἔτι τὸ π, μετὰ τοῦ μ, ἢ μετὰ τοῦ ν, ἐν τῇ αὐτῇ εἴτε ἐν διαφόροις λέξεσιν ἀμέσως ἐκφερομέναις, ἔχει τὸν ἦχον τοῦ B, γράμματος λατινικοῦ, ὃν ἄλλως οὐκ ἂν εἶχεν· οἷον ἄμπελος, ἐν τῇ αὐτῇ λέξει, ἔμπυρος. ἐν διαφόροις δὲ λέξεσιν ἀμέσως, καὶ ἀδιαστάτως ἐκφερομέναις· οἷον τὸν πόθον, τὸν πόνον.

Ὁμοίως τὸ τ, μετὰ τοῦ μ, ἢ μετὰ τοῦ ν, κρατεῖ τὸν ἦχον τοῦ D, συμφώνου λατινικοῦ, ὃν ἄλλως οὐκ ἂν εἶχεν· οἷον ἀντίχριστος, πάντα. παρατηρητέον, ὅτι τὰ αὐτά, καὶ στοιχεῖα, καὶ γράμματα καλοῦνται· ὅτε μὲν γράφονται, γράμματα καλοῦνται, ὅτε δὲ ἀναγινώσκονται λέγονται στοιχεῖα.

## Περὶ προσῳδιῶν, εἴτε τόνων.

Πρὸς γοῦν τὸ ἀναγινώσκειν ἀποβλέπει ἡ προσῳδία. Ἡ προσῳδία μέν ἐστι τάσις, ἢ τόνος φωνῆς ἐγγραμμάτου· ἢ τόνος πρὸς ὃν ᾄδομεν.

Εἰσὶ δὲ προσῳδίαι δέκα· ὀξεῖα ´, βαρεῖα `, περισπωμένη ~, μακρὰ —, βραχεῖα ˘, δασεῖα ‛, ψιλὴ ᾿, ἀπόστροφος ’, ὑφὲν ‿, καὶ ὑποδιαστολή.

´ ` ~ ἤτε ¯ — ˘ ‛ ᾿ ’ ‿ ,

Διαιροῦνται εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα, καὶ εἰς πάθη. τόνοι μὲν οὖν εἰσι τρεῖς· ὀξεῖα ´, βαρεῖα `, περι-

σπω=